τὴν μεγίστην κοιλίαν προσήρτηται τῇ μεγάλῃ φλεβὶ, πρὸς ἣν καὶ τὸ μεσεντέριόν ἐστιν, κατὰ δὲ τὴν μέσην τῇ ἀορτῇ. Φέρουσι δὲ καὶ εἰς τὸν πλεύμονα πόροι ἀπὸ τῆς καρδίας, καὶ σχίζονται τὸν αὐτὸν τρόπον ὅνπερ ἡ ἀρτηρία, κατὰ πάντα τὸν πλεύμονα παρακολουθοῦντες τοῖς ἀπὸ τῆς ἀρτηρίας. Ἐπάνω δ' εἰσὶν οἱ ἀπὸ τῆς καρδίας πόροι· οὐδεὶς δ' ἐστὶ κοινὸς πόρος, ἀλλὰ διὰ τὴν σύναψιν δέχονται τὸ πνεῦμα καὶ τῇ καρδίᾳ διαπέμπουσιν· φέρει γὰρ ὁ μὲν εἰς τὸ δεξιὸν κοῖλον τῶν πόρων, ὁ δ' εἰς τὸ ἀριστερόν. Περὶ δὲ τῆς φλεβὸς τῆς μεγάλης καὶ τῆς ἀορτῆς [πῶς ἔχουσι] καθ' αὑτὰς, κοινῇ περὶ ἀμφοτέρων ἐροῦμεν ὕστερον. (4) Αἷμα δὲ πλεῖστον μὲν ὁ πλεύμων ἔχει τῶν ἐν τοῖς ζῴοις μορίων τοῖς ἔχουσί τε πλεύμονα καὶ ζῳοτοκοῦσιν ἐν αὑτοῖς τε καὶ ἐκτός· ἅπας μὲν γάρ ἐστι σομφός· παρ' ἑκάστην δὲ τὴν σύριγγα πόροι φέρουσι τῆς μεγάλης φλεβός. Ἀλλ' οἱ νομίζοντες εἶναι κενὸν διηπάτηνται, θεωροῦντες τοὺς ἐξῃρημένους, ἐξ ὧν, διαιρουμένων τῶν ζῴων, εὐθέως ἐξελήλυθε τὸ αἷμα ἀθρόον. Τῶν δ' ἄλλων σπλάγχνων ἡ καρδία μόνη ἔχει αἷμα, καὶ ὁ μὲν πλεύμων οὐκ ἐν αὑτῷ, ἀλλ' ἐν ταῖς φλεψὶν, ἡ δὲ καρδία ἐν αὑτῇ· ἐν ἑκάστῃ γὰρ ἔχει αἷμα τῶν κοιλιῶν, λεπτότατον δ' ἐστὶ τὸ ἐν τῇ μέσῃ. (5) Ὑπὸ δὲ τὸν πλεύμονά ἐστι τὸ διάζωμα τὸ τοῦ θώρακος, αἱ καλούμεναι φρένες, πρὸς μὲν τὰ πλευρὰ καὶ τὰ ὑποχόνδρια καὶ τὴν ῥάχιν συνηρτημέναι, ἐν μέσῳ δ' ἔχει ἄττα λεπτὰ καὶ ὑμενώδη. Ἔχει δὲ δι' αὐτοῦ καὶ φλέβας τεταμένας. Εἰσὶ δ' αἱ τοῦ ἀνθρώπου φρένες

1. Προσήρτηται] ἐξήρτηται Bk. — 10. Κατ' αὐτὰς κοινῇ Bk. — 16-17. Ἐξ ὧν... τῶν ζῴων, εὐθέως] ἐκ τῶν δ. τῶν ζῴων, ὧν εὐθέως Bk. — 24. Ἄττα λεπτὰ] τὰ λεπτὰ Bk. — 25. Φρένες] φλέβες Bk.